Burton & Goodspeed # 22: The Call of the Four

| Matthew 4:18-22 | Mark 1:16-20 |
|---|---|
| **Matthew 4:18** | **Mark 1:16** |
| Περιπατῶν δὲ παρὰ τὴν | Καὶ παράγων παρὰ τὴν |
| θάλασσαν τῆς Γαλιλαίας | θάλασσαν τῆς Γαλιλαίας |
| εἶδεν δύο ἀδελφούς, | εἶδεν |
| Σίμωνα τὸν λεγόμενον Πέτρον | Σίμωνα |
| καὶ Ἀνδρέαν τὸν ἀδελφὸν | καὶ Ἀνδρέαν τὸν ἀδελφὸν |
| αὐτοῦ, | Σίμωνος |
| βάλλοντας ἀμφίβληστρον | ἀμφιβάλλοντας |
| εἰς τὴν θάλασσαν· | ἐν τῇ θαλάσσῃ· |
| ἦσαν γὰρ ἁλιεῖς. | ἦσαν γὰρ ἁλιεῖς. |
| **19** καὶ λέγει αὐτοῖς, | **17** καὶ εἶπεν αὐτοῖς |
| | ὁ Ἰησοῦς, |
| Δεῦτε ὀπίσω μου, | Δεῦτε ὀπίσω μου, |
| καὶ ποιήσω ὑμᾶς | καὶ ποιήσω ὑμᾶς |
| ἁλιεῖς ἀνθρώπων. | γενέσθαι ἁλιεῖς ἀνθρώπων. |
| **20** οἱ δὲ εὐθέως ἀφέντες | **18** καὶ εὐθὺς ἀφέντες |
| τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. | τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. |
| **21** Καὶ προβὰς ἐκεῖθεν εἶδεν | **19** Καὶ προβὰς ὀλίγον εἶδεν |
| ἄλλους δύο ἀδελφούς, | |
| Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου | Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου |
| καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, | καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ |

| | |
|---|---|
| ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου | καὶ αὐτοὺς ἐν τῷ πλοίῳ |
| τοῦ πατρὸς αὐτῶν | |
| καταρτίζοντας τὰ δίκτυα | καταρτίζοντας τὰ δίκτυα, |
| αὐτῶν, | |
| καὶ ἐκάλεσεν αὐτούς. | **20** καὶ εὐθὺς ἐκάλεσεν αὐτούς. |
| **22** οἱ δὲ εὐθέως ἀφέντες | καὶ ἀφέντες |
| τὸ πλοῖον | |
| καὶ τὸν πατέρα αὐτῶν | τὸν πατέρα αὐτῶν Ζεβεδαῖον |
| | ἐν τῷ πλοίῳ |
| | μετὰ τῶν μισθωτῶν |
| ἠκολούθησαν αὐτῷ. | ἀπῆλθον ὀπίσω αὐτοῦ. |

Matthew: 97 – 8 = 89 Words   Mark: 90 – 8 = 82 Words   Identical: 104/171 = 60.82%